# Ἀναστάσιος κοιαίστωρ ὁ μελῳδός.

Ἐπ' ὀνόματι μελῳδοῦ τινος Ἀναστασίου φέρεται παρὰ τῷ Πιτρᾷ κανών τις ᾀσματικὸς καὶ ἕτερός τις ἐκκλησιαστικὸς ὕμνος[1]), ὁ δὲ Krumbacher ἁπλῶς ὑποθετικῶς ἀνέγραψε τὸν Ἀναστάσιον τοῦτον ὡς μελῳδὸν τῆς ἑβδόμης ἑκατονταετηρίδος[2])· ἀλλ' ἐπειδὴ τὰ παρὰ τῷ Πιτρᾷ ποιήματα αὐτοῦ συνήθως ὑπάρχουσιν ἐν τοῖς Τριῳδίοις, καὶ τούτων τὸ ἕτερον πάλιν (κῶδιξ 613 Πάτμου) ἀναγράφεται ὡς «ποίημα Ἀναστασίου κοιαίστορος»[3]), εὗρον δὲ κἀγὼ πολλὰ ὁμοῦ ἐκκλησιαστικὰ ᾄσματα ἐπ' ὀνόματι ὡσαύτως «Ἀναστασίου κοιαίστορος», εὔλογον ἐντεῦθεν εἶναι νὰ παραδεχθῶμεν, ὅτι καὶ ὁ παρὰ τῷ Πιτρᾷ καὶ τῷ Krumbacher μυστηριώδης Ἀναστάσιος εἶναι αὐτὸς οὗτος ὁ Ἀναστάσιος κοιαίστωρ. Ἀλλὰ πότε ἔζη οὗτος ὁ κοιαίστωρ; Ἔχω πεποίθησιν ὅτι οὗτος εἶναι αὐτὸς ἐκεῖνος, οὗ μίαν ἐπιστολὴν πρὸς Λέοντα μάγιστρον τὸν Χοιροσφάκτην ἐξέδωκεν Ἰωάννης ὁ Σακκελίων[4])· αὕτη δὲ ἡ ἐπιστολὴ ἐγράφη, καθὰ φαίνεται, ἔτει 907-ῳ, ὅτε ὁ Χοιροσφάκτης ἀπεστάλη ὑπὸ τοῦ αὐτοκράτορος Λέοντος τοῦ Σοφοῦ εἰς Συρίαν. Ἀναστάσιος οὗτος ὁ κοιαίστωρ εἶναι καὶ συγγραφεὺς ἐγκωμίου τινὸς «εἰς τὸν ἅγιον μεγαλομάρτυρα Ἀγαθόνικον»[5]).

Ἀλλ' ἐκτὸς τοῦ ἐγκωμίου τούτου καὶ τῶν παρὰ τῷ Πιτρᾷ ᾀσμάτων ὁ Ἀναστάσιος ἐποίησε καὶ εἱρμοὺς διὰ πέντε λειτουργικὰς ἀνάγκας τῆς Ἐκκλησίας Κωνσταντινουπόλεως. Τοὺς εἱρμοὺς τούτους, ἀντιπροσωπεύοντας

1) J. B. Pitra, Juris ecclesiastici Graecorum historia et monumenta. Romae 1868, τ. 2, σ. 280—287.

2) K. Krumbacher, Geschichte d. byz. Litteratur², σ. 673.

3) Ἰ. Σακκελίωνος Πατμιακὴ βιβλιοθήκη. Ἀθήνησιν 1890, σ. 249.

4) Δελτίον τῆς ἱστορικῆς καὶ ἐθνολογικῆς ἑταιρίας, τ. 1, σ. 407.

5) Κῶδ. Μόσχας 26 (Βλαδιμίρου ἀριθ. 384), φύλλ. 255—266. Ἡ τοῦ ἐγκωμίου ἐπιγραφὴ ἔχει οὕτως· «Ἀναστασίου ταπεινοῦ ἐγκώμιον εἰς τὸν ἅγιον μεγαλομάρτυρα Ἀγαθόνικον». Ἄνωθεν ὅμως τοῦ «ταπεινοῦ» εἶναι γεγραμμένον τὸ «κοιαίστωρος». Ἡ τοῦ ἐγκωμίου ἀρχὴ ἔχει οὕτω· «Λαμπρὰ μὲν τὰ τῆς ὑποθέσεως διηγήματα, λαμπρότερα δὲ καὶ τῆς καταυτὴν θείας πανηγύρεως τὰ προβλήματα (ἀθλοφορικὰ γὰρ τὰ ἀνδραγαθήματα), καὶ ταῦτα οἷα καὶ λόγος γάννυται διηγούμενος» κτλ.

πέντε ᾀσματικοὺς κανόνας, ὧν ἦτο ποιητὴς αὐτὸς οὗτος ὁ Ἀναστάσιος, ἀλλ' ὧν τὸ κείμενον εἶναι μέχρι τοῦδε ἄγνωστον, εὗρον ἐγὼ ἔν τινι χειρογράφῳ Εἱρμολογίῳ, γραφέντι μὲν περὶ τὸ τέλος τῆς 10-ης ἑκατονταετηρίδος ὑπό τινος Γρηγορίου, νῦν δὲ εὑρισκομένῳ ἐν τῇ βιβλιοθήκῃ τῆς λαύρας τοῦ ὁσίου Ἀθανασίου τοῦ Ἀθωνίτου (κώδ. Β—32). Οἱ πρῶτοι τῶν εἱρμῶν τούτων (φ. 102ᵃ—103ᵃ) ἀναφέρονται εἰς τὴν ἑορτὴν τῆς Ὑπαπαντῆς, εἶναι δὲ πεποιημένοι κατ' ἦχον τρίτον καὶ διαιροῦνται εἰς ἐννέα ᾠδάς· καὶ ὁ μὲν τῆς δευτέρας ᾠδῆς εἱρμὸς εἶναι «καταλογάδην» ἔρρυθμος, οἱ δὲ τῶν λοιπῶν ᾠδῶν εἱρμοὶ πάντες ἰαμβικοί. Ἐν τῷ κανόνι τούτῳ σημειώσεως ἄξιον εἶναι τὸ φαινόμενον, ὅτι κατ' ἐξαίρεσιν μόνον ὁ τῆς 2-ας ᾠδῆς εἱρμὸς ἀφέθη «καταλογάδην». — Οἱ δεύτεροι εἱρμοί, ἰαμβικοὶ ὡσαύτως ὄντες, ἀναφέρονται εἰς τὴν ἑορτὴν τῶν Βαΐων· εἶναι δὲ οὗτοι μεμελισμένοι κατ' ἦχον τέταρτον (φ. 133ᵇ—135ᵇ). — Οἱ τρίτοι εἱρμοί, ἰαμβικοὶ καὶ οὗτοι καὶ κατ' ἦχον πλάγιον 2-ον πεποιημένοι, ἀναφέρονται εἰς τὴν γέννησιν τοῦ Προδρόμου (φ. 216ᵃ—217ᵃ) — Οἱ τέταρτοι εἱρμοὶ ἀναφέρονται εἰς τὸν μεγαλομάρτυρα Ἀγαθόνικον (φ. 217ᵃ — 218ᵃ), ὃν ὁ Ἀναστάσιος κοιαίστωρ, ὡς ἐλέχθη, κατ' ἐξαίρεσιν ἐνεκωμίασε καὶ διὰ λόγου τύποις ἔτι ἀνεκδότου. Ἐποίησε διὰ τὸν Ἀγαθόνικον καὶ κανόνα ᾀσματικόν, οὗ ἡ πρώτη ᾠδὴ ἦτο κατὰ τὸν ῥυθμὸν τοῦ «Κύματι θαλάσσης», ἡ τετάρτη ᾠδὴ κατὰ τὸ «Τὴν ἐν σταυρῷ σου θείαν καίνωσιν», καὶ ἡ ἕκτη κατὰ τὸ «Συνεσχέθη ἀλλ' οὐ κατεσχέθη»· διὰ τὰς λοιπὰς δὲ ᾠδὰς (β', γ', ε', ζ', η', θ') ἐποίησεν αὐτὸς οὗτος ὁ τοῦ κανόνος ποιητὴς πέντε εἱρμούς, μελίσας καὶ τονίσας αὐτοὺς εἰς ἦχον πλάγιον δεύτερον. — Οἱ πέμπτοι εἱρμοὶ ἀναφέρονται εἰς κανόνα ἀναστάσιμον (φ. 261ᵇ—262ᵇ)· εἶναι δὲ καὶ οὗτοι ἰαμβικοί, ἀλλὰ μεμελισμένοι κατ' ἦχον βαρύν.

Πάντες οὗτοι οἱ εἱρμοὶ ὑπάρχουσιν ἐν τῷ ῥηθέντι Εἱρμολογίῳ μετὰ τῆς παλαιᾶς ἢ ἀρχικῆς αὐτῶν παρασημάνσεως, ἐν δὲ τῷ σήμερον ἐν χρήσει Εἱρμολογίῳ (Βενετία 1888, σ. 108) εἷς καὶ μόνος εἱρμὸς τοῦ Ἀναστασίου, καὶ οὗτος ἀνώνυμος, εὑρίσκεται· εἶναι δὲ οὗτος ὁ τῆς ὀγδόης ᾠδῆς τῆς εἰς τὸν ἅγιον Ἀγαθόνικον ἀκολουθίας.

Ἐκτὸς τῶν ἐν τῷ Εἱρμολογίῳ Β—32 τῆς λαύρας τοῦ ἁγίου Ἀθανασίου τοῦ Ἀθωνίτου εἱρμῶν εὗρον ἐγὼ τοῦ ἡμετέρου Ἀναστασίου κοιαίστορος καὶ κανόνα ἰαμβικὸν εἰς τὴν ἑορτὴν τοῦ Εὐαγγελισμοῦ τῆς Θεοτόκου ἔν τινι κώδικι τῆς δεκάτης ἑκατονταετηρίδος, ἐμπεριέχοντι μηναῖα δύο (Μάρτιον καὶ Ἀπρίλιον) καὶ εὑρισκομένῳ πρότερον ἐν ταῖς συλλογαῖς τοῦ μακαρίτου ῥώσου ἀρχιμανδρίτου Ἀντωνίνου[1]), νῦν δὲ ἐν τῇ Αὐτοκρατορικῇ Δημο-

1) Περὶ τοῦ κώδικος τούτου ὅρα τινὰς εἰδήσεις ἐν τῷ ἡμετέρῳ Σχεδιάσματι περὶ τῶν λειτουργικῶν Μηναίων. Ἐν Πετρουπόλει 1894, σ. 10—19, 21.

σίᾳ βιβλιοθήκῃ τῆς Πετρουπόλεως· ὑπάρχει δὲ ὁ κανὼν οὗτος μεταξὺ τῶν φύλλων 27ᵇ—29ᵇ τούτου τοῦ κώδικος· ἀλλ' ἐπειδὴ μετὰ τὸ 29-ον φύλλον εὑρίσκεται μικρὸν ἐν τῷ κώδικι χάσμα, δυστυχῶς ὁ τοῦ Ἀναστασίου κανὼν εἶναι διὰ τοῦτο κεκολοβωμένος, καὶ ἐπὶ δέκα ἤδη ἔτη μάτην ἤλπισα ἐξ ἑτέρου τινὸς ἀντιγράφου νὰ συμπληρώσω αὐτόν. Ὁ εἰς τὸν Εὐαγγελισμὸν τῆς Θεοτόκου κανὼν εἶναι πεποιημένος κατὰ τὸ μέτρον καὶ τὸν τόνον τοῦ εἰς τὴν Πεντηκοστὴν ἰαμβικοῦ κανόνος Ἰωάννου τοῦ Δαμασκηνοῦ· ὡς δὲ φαίνεται καὶ ὁ εἰς τὰ Βαΐα κανών, οὗ ἐσώθησαν ἄχρις ἡμῶν μόνον οἱ εἱρμοί. Ἀλλ' ὁ Ἀναστάσιος εἶχε συντάξει καὶ κανόνας ἰαμβικοὺς εἰς ἦχον τρίτον, εἰς ἦχον πλάγιον δεύτερον καὶ εἰς ἦχον βαρὺν (Ὑπαπαντή, γέννησις τοῦ Προδρόμου καὶ κανὼν ἀναστάσιμος). Βεβαίως καὶ τούτων τὰ μέτρα καὶ τὸν τόνον ἐμιμήθη ἐξ ἄλλων τινῶν παλαιοτέρων ἰαμβικῶν κανόνων· ἀλλ' ἡμεῖς ἀγνοοῦμεν αὐτούς, ἐπειδὴ τρεῖς καὶ μόνοι περιεσώθησαν ἄχρις ἡμῶν, αὐτοὶ δηλαδὴ οἱ τοῦ Ἰωάννου τοῦ Δαμασκηνοῦ ἰαμβικοὶ κανόνες[1])· καὶ ἐπειδὴ τούτου οἱ τοιοῦτοι κανόνες ἐχρησίμευον ὡς πρόπλάσματα ἐν τοῖς ὑστέροις χρόνοις παρὰ τοῖς συντάκταις διαφόρων ἰαμβικῶν κανόνων, δὲν εἶναι παράλογον νὰ ὑποτεθῇ ἐντεῦθεν, ὅτι ἐν τοῖς χρόνοις τοῦ Ἀναστασίου κοιαίστορος ἐσῴζοντο κανόνες ἰαμβικοὶ Ἰωάννου τοῦ Δαμασκηνοῦ ὀκτὼ μᾶλλον ἢ τρεῖς, πεποιημένοι δηλαδὴ κατὰ τοὺς ὀκτὼ τῆς ἐκκλησιαστικῆς μουσικῆς ἤχους.

Ἰδοὺ τὸ κείμενον καὶ τῶν εἱρμῶν καὶ τοῦ κανόνος.

1.

Ἑτέρα ἀκο(λου)θ(ία) Ἀναστασίου κυέστορος.
Ἴαμβοι εἰς τὴν αὐτὴν ἑορτὴν (= Ὑπαπαντήν).
Ἦχος γ'.
Ὠδὴ α'.

Ὁ πρὶν τεμὼν ἄτμητον ὑγρὰν ἐνθέως
σώσας τε λαὸν Ἰσραηλίτην λόγος,
φανεὶς καθ' ἡμᾶς νῦν σαώζει τὴν κτίσιν.
Ἄσωμεν αὐτῷ ᾆσμα καινὸν σὺν πόθῳ,
ἐφυμνίοις κροτοῦντες, ὡς εὐεργέτῃ.

1) W. Christ et M. Paranicas, Anthologia graeca carminum christianorum. Lipsiae 1871, σ. 205—217. Iohannis Damasceni canones iambici cum commentario et indice verborum ex schedis Aug. Nauck editi. St.-Pétersbourg 1894. Πρβλ. K. Krumbacher, Gesch. der byz. Litteratur ², σ. 674 κἑ.

5 κῶδ. πρὴν || ἄτμιτον. — 7 κῶδ. φανεῖς καθημᾶς νῦν σαόζει. — 8 Ψαλμ. λβ', 3 || κῶδ. ἄσμα κ. συνπόθω. — 9 κῶδ. ἐφυμνεῖοις κρ. ὥσευεργέτη.

ᾨδὴ β΄.

Ὦτα καρδίας ἄνοιξον*, παγγενὲς βρότιον,
καὶ ἄκουε θεοῦ μεγαλουργίαν,
πῶς τε τοῦ πρεσβύτου Συμεὼν
ὁ τῆς παρθένου υἱὸς* ἀγκάλαις ἐνθρονίζεται
ὡς βρέφος τεσσαρακονθήμερον
καὶ τῶν δεσμῶν* τοῦδε τοῦ σαρκίου ἀπολύει αὐτόν,
καὶ δῶμεν μεγαλωσύνην αὐτῷ.

ᾨδὴ γ΄.

Γέγηθεν Ἄννα τὸν Σαμουὴλ παιδίον
ὁρῶσα βλαστὸν τῆς ἀκάρπου νηδύος·
νῦν δὲ προφῆτις Ἄννα τέρπεται, βρέφος
ὅτι βλέπει γηραιῷ ἠγκαλισμένον,
στήριγμα πιστῶν, τὸν πρὸ πάντων κύριον.

ᾨδὴ δ΄.

Ἐκστὰς προεῖδεν Ἀμβακοὺμ μυστήριον
τὸ νῦν τελεσθὲν τοῦ θεανθρώπου λόγου·
ἦλθεν γὰρ αὐτὸς ἐκ Θαιμάν, ὃν Συμεὼν
ῥύστην ἀνυμνεῖ καὶ βοῶν ἀγάλλεται
«ἄναρχε, δόξα τῷ κράτει σου, κύριε».

ᾨδὴ ε΄.

Νῦν, Ἡσαΐα, χαῖρε· νῦν μέγα κρότει·
ἔσχεν γὰρ υἱὸν παρθένος θεοῦ λόγον,
γέρων δὲ τοῦτον Συμεὼν ἐν ἀγκάλαις
χαίρων ἰδοὺ τῷ θεῷ καὶ πατρὶ φέρει,
λύοντα κόσμον νυκτὸς ἐκ καχεσπέρου.

ᾨδὴ ϛ΄.

Ἀπήμονα πρὶν ὁ προφήτην ἐγκάτων
ἄξας Ἰωνᾶν θηρὸς ἐκ θαλαττίου

2 χῶδ. Ὅταχ. ἄνυξον. Σημειωτέον, ὅτι ὁ εἱρμὸς οὗτος δὲν εἶναι ἰαμβικός, ἀλλ' ἁπλῶς ἔρρυθμος καὶ καταλογάδην, καὶ τοῦτο διότι Ἰωάννης ὁ Δαμασκηνός, ὡς εἰς πάντας αὐτοῦ τοὺς κανόνας, οὕτω καὶ εἰς τοὺς ἰαμβικοὺς δὲν εἰσήγαγε τὴν δευτέραν ᾠδήν· ἑπομένως ὁ Ἀναστάσιος δὲν εἶχεν ὑπ' ὄψει του πρωτότυπον δευτέρας ᾠδῆς εἰς μέτρον ἰαμβικόν. — 10 χῶδ. Γέγειθεν. — 11 χῶδ. ὀρῶσα || νιδύως. — 12 χῶδ. προφήτης. — 13 χῶδ. γειραιῶ ἠγκαλησμένον. — 14 χῶδ. στήρηγμα. — 16 χῶδ. ἐκστᾶς πρὸ ἴδεν ἀμβαχοῦμ. — 18 Ἀμβ. γ΄ 3 || χῶδ. θεμὰν ὃν. — 20 χῶδ. κράτι. — 22 χῶδ. χρῶτι. — 24 χῶδ. γέρον δ. τ. συμεῶν ἐναγκάλαις. — 25 χῶδ. χαῖρων. — 26 χῶδ. λύωντα || ἐκκαχεσπέρου. — 28 χῶδ. ἀπεῖμονα πρῆν· ὁπρὸ φήτην. — 29 Ἰωνᾶ γ΄, 1–11 || χῶδ. θαλατείου.

ῥύστης προῆλθεν μητρικαῖς ἐν ἀγκάλαις,
τὸν πρωτόπλαστον νήπιον δεδεγμένος
ἵνα προσάξῃ γαστρὸς ἐκ βροτοκτόνου.

Ὠδὴ ζ'.

Ἡ τρισσότης ὡς εἶδε παίδων ἑστῶσα
γήθουσαν μορφὴν ἀγγέλου μέσον φλογὸς
ἔχαιρεν. Συμεὼν δὲ τὸν θεοῦ λόγον
νεῴ βλέπων φανέντα καὶ σκιρτῶν πόθῳ
ἔψαλλεν· «Χαῖρε, σῶτερ· εὐλογητὸς εἶ».

Ὠδὴ η'.

Πάλαι κατεῖδεν Μωϋσῆς ἐν τῇ βάτῳ
ἄφλεκτον ὄντα τὸν τόκον τῆς παρθένου·
ῥᾷον δὲ τούτου πρέσβυς ἐμφαίνει βρέφος·
θεὸν γεραίρει, «Εὐλογεῖτε νῦν» βοῶν
«λευχειμονοῦσα ἡ κτίσις τὸν κύριον».

Ὠδὴ θ'.

Μετ' ἀγγέλων σκιρτῶμεν ἀνθρώπων γένος,
ἄληκτον αἶνον σοὶ φέροντες ἀξίως·
ἰδοὺ γάρ, ὦ δέσποινα, τὸν θεοῦ λόγον
σαῖς ἀγκάλαις ὁρῶμεν ἔνθεον βρέφος,
γέρας νέμοντα τοῖς πόθῳ ὑμνοῦσίν σε.

2.

Ἑτέρα ἀκολ(ου)θ(ία) εἰς τ(ὰ) Βαΐα.
Ἀναστ(ασίου) κυέστ(ορος) ἴαμβοι.
Ἦχος δ'.
Ὠδὴ α'.

Νεῦσον πρὸς ἡμᾶς, Ἰσραὴλ σου τὸν νέον,
ὡς τὸν παλαιόν, Χριστέ, νῦν διεξάγων

---

1 κῶδ. πρὸ ἤλθεν μ. ἐναγκάλαις. — 2 κῶδ. πρὸ τόπλαστον νεῖπιον δεδειγμένος. — 3 κῶδ. πρόσ ἄξει. — 5/7 Δανιὴλ γ', 12—23. — 5 κῶδ. ἡ τρισσῶ τησ ὡσ ἴδε παῖδων ἐκτῶτι. — 7 κῶδ. συμεῶν. — 8 κωδ. νέων || σκηρτῶν. — 9 κῶδ. ἔψαλεν. — 11 κῶδ. μωυσὶς. — 13 κῶδ. ῥάον || ἐμφαῖνει. — 14 κῶδ. γεραῖρει. — 15 κῶδ. λευχημωνοῦσα. — 17 κῶδ. μεταγγέλων σκηρτῶμεν. — 18 κῶδ. ἄλικτον α. σὺ. — 20 κῶδ. ὀρώμεν. — 21 κῶδ. γε͂ρας ναίμωντα τ. π. ὑμνούσιν σε. — 26 κῶδ. νεύσον πρὸσἡμᾶς· ιηλ. — 27 κῶδ. ὥστον || διέξάγων.

τῆς τοῦ νοητοῦ Φαραὼ τυραννίδος·
ᾆσμα κροτοῦμεν, ὕμνον, ὡς εὐεργέτῃ,
χαρᾶς φέροντες βαΐοις τὰ σύμβολα.

'Ωδὴ γ΄.

Στεῖρα σκυθρωπή, τὸ πρὶν ἠτεκνωμένη,
χαῖρε βλέπουσα πολλὰ νῦν τὰ τέκνα σου·
ἐξησθένησε καὶ γὰρ ἡ πολύτεκνος
θεοῦ παρόντος ἐν Σιὼν πώλῳ νέῳ,
ἐν ᾧ πεποιθὼς ἐνθέως στηρίζομαι.

'Ωδὴ δ΄.

Γῆρυν κραταιὰν ῥῆξον ἐκ Σιὼν ὄρους,
ἐν Ἱερουσαλὴμ τε καὶ κύκλῳ βλέπων·
θεὸς γὰρ ἥκεν, Ἰσραήλ, ὁ δεσπότης,
«Ὡσαννὰ» παῖδες ᾧ βοῶντες σὺν κλάδοις
κροτοῦσιν· «δόξα τῷ κράτει σου, κύριε».

'Ωδὴ ε΄.

Μετὰ κλάδων σκιρτῶντες οἱ θεόφρονες
«Ἡ τοῦ θεοῦ» μέλψωμεν «εὐφραίνου πόλις·
δόξα προσλάμπει καὶ γὰρ ἐν σοὶ κυρίου,
ἐν Ἰσραὴλ νέμοντος εἰρήνης κλέος,
χάριν τε θείαν ἐν Σιὼν τοῖς ἔθνεσιν».

'Ωδὴ ς΄.

Ὁ τὸν προφήτην τῶν ἐνύγρων ἐγκάτων
λώβης ἄνευθεν ἐκφορήσας δεσπότης
ὀχήματι προῆλθεν σήμερον ξένῳ·
νέοι δὲ προστρέχοντες «Ὡσαννὰ» κλάδοις
φέροντες ᾖδον, «σῶτερ ὦ παντοκράτορ».

---

1 κῶδ. τουνοητοὺ φαραὼ τυρανίδος. — 2 κῶδ. ἄσμα κροτούμενοίμνονώσευεργέτη. — 3 κῶδ. χαρὰς φ. βαοίοιστα. — 5 κῶδ. στήρα σκυθρωπῆ τὸ πρῆν ἠτεκνομένη. — 7 κῶδ. πολλύτεκνος. — 8 κῶδ. πόλω. — 9 κῶδ. ἐνῶ πεποιθῶς. — 11 κῶδ. γήρυν κ. ρίξων — 12 κῶδ. ἐνιερουσαλῆμ. — 13 κῶδ. ὁδεσπ. ὡσαννᾶ. — 14 Ματθ. κα΄, 8, 9, 15 || κῶδ. ὀβοῶντες συνκλάδοις. — 15 κῶδ. κροτούσιν || κράτι. — 17 κῶδ. μετακλάδων κηρτόντεσ οἰ. — 18 κῶδ. τοὺ || εὐφραῖνου. — 19 κῶδ. πρόσλάμπει || ἐνσοῦ. — 20 κῶδ. ἐνιηλ || κλέως. — 21 κῶδ. θεῖαν ἐν σιῶν. — 23 κῶδ. ὀτὸν || Ἰωνᾶ β΄. — 24 κῶδ. λόβεις ἄ. ἐκφορίσας. — 25 κῶδ. ὠχήματι πρόῆλθεν. — 26 κῶδ. πρόσ τρέχοντες. — 27 κῶδ. ἤδον.

'Ωδὴ ζ'.

Ὃν παῖδες οἱ τρεῖς εὐλόγουν θεὸν πάλαι,
πυρὸς φλόγα τρέψαντα θείαν εἰς δρόσον,
«Ὡσαννὰ» πληθὺς νηπίων μετὰ κλάδων
νῦν ἐν Σιὼν ὑμνεῖ, σὲ Χριστὲ παντάναξ·
«εὐεργέτα τοῦ παντός, εὐλογητὸς εἶ».

'Ωδὴ η'.

Πώλῳ βεβηκὼς Χριστός, εἰσάγων ἔθνη,
ὡς δεσπότης προῆλθε καὶ παντοκράτωρ·
λαοί, κροτεῖτε· πᾶσα δὲ σκίρτα κτίσις·
«Ὡσαννὰ» παισὶ συμβοήσωμεν πόθῳ,
μετὰ κλάδων νῦν εὐλογοῦντες τὸν κύριον.

'Ωδὴ θ'.

Ἀγαλλιῶσα χαῖρε, μῆτερ κυρίου·
ἰδοὺ γάρ, ὅνπερ ἔσχες ἐν μήτρᾳ λόγον,
ὁ κόσμος ὑμνεῖ, δεσπότην, εὐεργέτην·
ἰδοὺ κλάδοις αἰνοῦμεν αὐτοῦ τὸ κράτος,
σοὶ προσφέροντες ὕμνον εὐχαριστίας.

3.

Ἑτέρα ἀκολουθ(ία).
Ἀναστ(ασίου) κυέστ(ορος) ἴαμβοι.
(Εἰς τὴν γέννησιν τοῦ Προδρόμου)
Ἦχος πλάγιος β'.

'Ωδὴ α'.

Ἤνοιξε Μωσῆς Ἰσραηλίταις πάλαι
νεύσει παναλκεῖ πυθμένας θαλαττίους·
βυθὸν δὲ κλύσας τοὺς διώκτας κυκλόθεν

---

2/3 Δανιὴλ γ', 19—26. — 2 κῶδ. ὀν π. οἱ τρῖς. — 3 κῶδ. θεῖαν. — 4 κῶδ. ωσαννᾶ π. νηπειῶν μετακλάδων. — 5 κῶδ. σιῶν ὑμνεῖ σε. — 8/9 Ματθ. κα', 1—11. Μάρκ. ια', 1—11. Λουκᾶ ιθ', 29—46. — 8 κῶδ. βεβεικῶς. — 9 κῶδ. πρὸ ἤλθε κ. παντὸ κράτορ. — 10 κῶδ. λαοῖ κροτίται· πάσα δὲ σκήρτα. — 11 κῶδ. ωσαννᾶ. — 12 κῶδ. μετακλᾴδονῦν εὐλογούντες. — 15 κῶδ. ὄνπερ. — 17 κῶδ. αὐτού. — 18 κῶδ. πρὸσ φέροντες ὕμνον εὐχαρηστεῖας. — 19 κῶδ. ἐτέρα. — 24/25 Ἐξόδ. ιδ', 21—31. ιε', 1—19. — 24 κῶδ. ἤνυξε. — 25 κῶδ. παναλκῆ πυθμένων θαλαττεῖων. — 26 κῶδ. διῶκτας κυκλῶθεν.

ἄρδην ἔκρυψεν, καὶ θεῷ τὰς αἰνέσεις
σκιρτῶν ἔμελπεν, ὡς κραταιῷ δεσπότῃ.

Ὠδὴ γ'.

Ἐκ τῆς ἀκάρπου καρπὸς ὤφθη νηδύος
νέος προελθὼν ὁ βλέπων ἐνδημίαν
ἔνθους Σαμουὴλ τοῦ πρὸ αἰώνων λόγου·
ἥπερ πέφυκεν ἐξ ἀχράντου παρθένου
στηριγμὸς ἡμῖν καὶ βάσις τῆς πίστεως.

Ὠδὴ δ'.

Θεὸν προελθεῖν ἐξ ὄρους τῆς παρθένου
ἐκστὰς ἔφριττεν Ἀμβακοὺμ προμηνύων·
λαοῖς γὰρ ὤφθη Χριστὸς εἰς σωτηρίαν,
ξένην πορίζων τοῖς πάλαι καὶ νῦν τρίβον,
ἄγουσαν εἰς εὔκλειαν ἐνθέου κράτους.

Ὠδὴ ε'.

Ὁ φῶς ἐφαπλῶν καὶ σκεδάζων τὸ σκότος
ἄναρχον ὢν φῶς, Χριστέ, τοῦ πατρὸς λόγε,
μείωσον ἀχλὺν τῆς ἐμῆς ῥᾳθυμίας·
ἀκτῖσιν αὔγασόν με σῶν προσταγμάτων
ῥᾷον διελθεῖν τὰς ἐνέδρας τοῦ σκότους.

Ὠδὴ ς'.

Ἦν τῷ προφήτῃ πόντιος τάφος λέων·
σῶον δὲ τοῦτον εἰς τύπον σοῦ τοῦ πάθους
οἶον καθεῖρξεν, ἐκφέρειν τριέσπερον
λαοῖς ὑπεμφαίνοντα σῆς τριημέρου
βάθους θεουργῶν, Χριστέ, τῆς ἐγέρσεως.

---

2 κῶδ. σκηρτῶν.... ὡς χρ. δεσπότι. — 4 κῶδ. ὦφθη νιδύως. — 5 κῶδ. πρὸ ἐλθῶν. — 6 κῶδ. σαμουῆλ τοὺ πρ. αἰῶνων. — 7 κῶδ. εἶπερ π. εξαχράντου. — 8 κῶδ. στηρηγμὸς. — 10 κῶδ. πρὸ ἐλθεῖν ἐξόρους || ἐξ ὄρους] Ἀμβ. γ', 3. — 11 κῶδ. ἐκστᾶς ἔφρηττεν ἀμβακοῦμ πρὸ μεινοίων. — 12 κῶδ. ὦφθη. — 14 κῶδ. εὔκλιαν — 17 κῶδ. ὂν. — 18 κῶδ. μεῖωσον... ἐμὴς. — 19 κῶδ. πρόσταγμάτων — 20 κῶδ. ράον δ. τᾶς. — 22/24 Ἰωνᾶ β', 1—11. Ματθ. ιβ', 40. — 22 κῶδ. Ἦν τ. πρὸ φήτι... λέον || πόντιος τάφος λέων] πρβλ. Ἰωάν. Δαμ. II, 71 «ἐκ ποντίου λέοντος ὁ τριέσπερος» κτλ. — 23 κῶδ. τούτον... σοὺ τοὺ. — 24 κῶδ. οἶον καθήλξεν. — 25 κῶδ. ὑπεμφαῖνοντα σ. τρὶ ἡμέρου.

ʼΩδὴ ζʹ.

Τοὺς παῖδας ἐδρόσιζε πῦρ ἐξ ἀνθράκων
ἐντὸς ψεκάζον τῆς καμίνου τῶν ὅρων·
ῥοίζῳ φλογὸς δὲ τοὺς πέριξ καταφλέγον
πείθει βοᾶν τύραννον «εὐλογητὸς εἶ
ἡ τρισσοφεγγὴς πανσθενὴς θεαρχία».

ʼΩδὴ ηʹ.

Θηρῶν ἔφραττεν Δανιὴλ τὰ χάσματα,
ἐσβέννυον πυρὸς δὲ βροντώδη φλόγα
νεανίαι τρεῖς ἀγγέλου παρουσίᾳ,
οἳ εὐλογοῦσαν νῦν παρῆγον τὴν κτίσιν,
νεουργὸν αὐτῆς εἰδότες καὶ κύριον.

ʼΩδὴ θʹ.

ʼΕν σοὶ τελεῖται θαῦμα, παρθένε, ξένον·
τῶν πατρικῶν κόλπων γὰρ οὐκ ἐκστὰς ὅλως
ἔνσαρκος ἐκ σοῦ, διπλόμορφος τῇ φύσει,
ῥύστης θεὸς προῆλθεν ἄμφω καὶ βροτός,
ἡμῖν χάριν, δέσποινα, δοὺς τὴν ἔνθεον.

4.

Ἑτέρα ἀκολουθ(ία).
Τοῦ αὐτ(οῦ) εἰς τ(ὸν) ἅγιον ʼΑγαθόνικον.

ʼΩδὴ αʹ.

Κύματι θαλάσσης: ⁘ ⁘

ʼΩδὴ βʹ.

Ἴδετε, ἴδετε*, ὅτι ἐγώ εἰμι ὁ θεὸς ὑμῶν
ὁ ἐν ἐρήμῳ ξένον λαὸν* καὶ φυγάδα διαθρέψας
καὶ νόμον δοὺς* πρὸς βίου τελείωσιν

---

2/6 Δανιὴλ γʹ, 20 κέ. — 2 κῶδ. ἐξανθράκων. — 3 κῶδ. ἐντῶσψεκάζων.... τῶνόρων. — 4 κῶδ. ῥύζο... καταφλέγων. — 5 κῶδ. πίθει βοὰν τύρανον εὐλογειτοσεῖ. — 6 κῶδ. ἠτρισσωφεγγεῖς πανσθενεῖς. — 8/10 Δανιὴλ ςʹ, 16—22. γʹ, 25—8 κῶδ. δανιῆλ τᾶ χάσματα. — 9 κῶδ. ἐσβέννυων.... βροντόδη. — 11 κῶδ. ὂν εὐλογούσαν ν. παρήγων. — 12 κῶδ. νεουργῶν α. ἰδῶτες. — 14 κῶδ. τελείτε θαύμα. — 15 κῶδ. οὐκεκστᾶς ὅλως. — 16 κῶδ. ἐκσού. — 17 κῶδ. πρὸ ἤλθεν. — 18 κῶδ. χᾶρην δ. δοῦς. — 19 κῶδ. ἐτέρα. — 20 κῶδ. τουαυτ(οῦ)... ἅγιον. — 22 κύματι] Anth. gr. carm. christ., σ. 196. — 23 κῶδ. ὠδῆ. — 24 κῶδ. ἐγῶ εἰμὶ... ὑμῶν. — 25 κῶδ. ἐνερίμω. — 26 κῶδ. δοῦς π. β. τελίωσιν.

καὶ τὴν σκιὰν εἰς ἀλήθειαν* διὰ τῆς χάριτος
μεταμφιάσας* τῇ ἰσχύι μου.

Ὠδὴ γ΄.

Πέτρας ἐξ ἀκροτόμου * τῶν θηλασάντων
οἱ ἀπόγονοι μέλι * ὑπὸ πέτραν ἐσφραγίσαντο
σὲ τὸν θησαυρὸν τῆς ζωῆς * τῶν ἁπάντων·
ὧν τὴν τόλμαν * ἡ κτίσις ἐρυθριῶσα
ὑπὸ τρόμῳ ἐκραύγαζεν·
«Οὐκ ἔστιν ἅγιος πλὴν σου *, μόνε φιλάνθρωπε».

Ὠδὴ δ΄.

Τὴν ἐν σταυρῷ σου θείαν καίνωσιν: ⁘ ⁘

Ὠδὴ ε΄.

Ὁ πρὸ ἑωσφόρου ἄδυτος ἥλιος
ἐκ πατρὸς ἀνατείλας *, ὡς τὸ ἀρχέγονον σκότος,
τὸν τῆς ψυχῆς μου * διασκέδασον ζόφον
καὶ τῷ φωτί σου τῶν προσταγμάτων
κατεύθυνόν μου τὰς τρίβους *, υἱὲ θεοῦ καὶ λόγε,
ἵνα ὀρθρίζων δοξάζω σου * τὸ ἀνέσπερον τῆς θεότητος.

Ὠδὴ ς΄.

Συνεσχέθη *, ἀλλ' οὐ κατεσχέθη: ⁘ ⁘

Ὠδὴ ζ΄.

Ἐν δε.... τῇ καμίνῳ
δροσίζει παῖδας ὁ κτίστης
καὶ ποιητὴς τοῦ παντός,
ὕμνον ἀναβοῶντας
«Θεὸς ὁ τῶν πατέρων
ἡμῶν, εὐλογητὸς εἶ».

---

1 κῶδ. σκιᾶν ε. ά. διατῆσχᾶριτοσ. — 2 κῶδ. εἰσχύει. — 4/5 Δευτ. λβ΄, 13 || 4 κῶδ. ἐξακροτόμου. — 5 κῶδ. οἱάπ. . . . ὑποπέτραν ἐσφραγεῖσαντο. — 6 κῶδ. ἀπάντων. — 7 κῶδ. ὦν. — 8 κῶδ. ὑποτρόμω. — 9 κῶδ. οὐκέστιν ἅγιος. — 11 Anthol., σ. 197 || κῶδ. θεῖαν. — 13 κῶδ. ἑοσφόρου. — 14 κῶδ. ἀνατήλας. ὡσ τὸ ἀρχέγωνον. — 16 κῶδ. πρόσταγμάτων. — 17 κῶδ. κατεύθυνῶν. — 18 κῶδ. ἰνα ὀρ. δοξάζο... θεότιτος. — 20 Anthol., σ. 198 || κῶδ. ἀλλου. — 22 κῶδ. Ἐνδεηρᾶ] πιθανῶς Ἐν δροσερᾷ. — 24 κῶδ. ποιητῆς τοὺ. — 25 κῶδ. ὕμνον ἀναβοώντας. — 26/27 Προσ. Αζαρίου 2. — 27 κῶδ. εὐλογητόσεῖ.

'Ωδὴ η'.

Τυράννου χρυσοχώνευτον στήλην
ὡς ἀντίθεον ἄγαλμα
οὐ προσεκύνησαν παῖδες οἱ Σιωνῖται,
ἀλλὰ θεοφορούμενοι * τὴν περσικὴν ἀνθρακιὰν
ὥσπερ λειμῶνα ἡγοῦντο
καὶ τὴν φλόγα * ὡς ψεκάζουσαν νεφέλην·
καὶ χορεύοντες ἔψαλλον· * «Εὐλογεῖτε,
τὰ ποιήματα πάντα, τὸν κύριον».

'Ωδὴ θ'.

Παρθενίας * σεμνότατον ἄγαλμα
καὶ ἁγνείας * κειμήλιον πάντιμον,
ἀπορρήτως τεκοῦσα
καὶ μητρικὰς ὠδῖνας φυγοῦσα,
σὺ ἀναδέδειξαι * ἀξιοχρέως· ᾄσμασιν
ὅθεν σε μεγαλύνομεν.

5.

Ἑτέρα ἀκολουθία.
Ἴαμβοι Ἀναστασίου κυέστορος.
Ἀναστάσιμος.
Ἦχος βαρύς.

'Ωδὴ α'.

Ἔρρηξεν ῥάβδος τοῦ προφήτου Μωσέως
χέρσον τελοῦσα τὴν θάλασσαν τοῖς πάλαι·
Χριστὸς δὲ σάρκα προσλαβὼν ἐκ παρθένου
ῥοὴν ἀφεῖλεν καὶ φθορὰν βροτησίαν,
πάντας ἑλκύσας πρὸς ὕψος ἀκήρατον.

'Ωδὴ γ'.

Ῥῦσαί με, σωτήρ, ἐκ φθορᾶς ἁμαρτίας,
ὁ παντεπόπτης καὶ φιλάνθρωπος φύσει·

2 κῶδ. τυράνου ‖ στήλιν. — 3 κῶδ. ὡσἀντίθεον. — 4 κῶδ. προσεκύνισαν π. οἱ σιωνίτε. — 5 κῶδ. ἀλλαθεοφ. τῆν περσικῆν. — 6 κῶδ. ὥσπερ λιμῶνα ἡγούντω. — 7 κῶδ. τῆν φλ. ὡσ. — 8 κῶδ. ἔψαλων. — 10 κῶδ. ὠδῆ. — 12 κῶδ. ἁγνίας. — 13 κῶδ. ἀπορρίτως τεκούσα. — 14 κῶδ. μητρικᾶς ὠδήνας φυγούσα. — 15 κῶδ. ἀξιωχρέως. — 22/23 Ἐξόδ. ιδ', 16, 21. — 22 κῶδ. Ἔρριξεν. — 23 κῶδ. τελούσα τῆν. — 24 κῶδ. δεσάρκα πρόσλαβῶν. — 25 κῶδ. ρωῆν ‖ βροτισίαν. — 26 κῶδ. ἀκείρατον. — 28 κῶδ. Ρύσαι ‖ φθορὰς. — 29 κῶδ. παντεπῶπτης.

νεύρωσον ἐν σοὶ καρδίας μου τὸν τόνον,
ἐν τῇ πέτρᾳ σῶν ἐντολῶν ἐφεδρύνας·
ῥύστης γὰρ ἡμῶν ὡς θεὸς καὶ κύριος.

'Ωδὴ δ'.

Συνεὶς ὁ θεῖος Ἀμβακοὺμ τῷ πνεύματι
γένους βροτείου τὴν ἀνάπλασιν γράφει·
«Ἐκ Θαιμὰν ἥξει Χριστὸς ὁ κτίστης πάντων,
ὄρους προελθὼν σαρκικῶς τῆς παρθένου».
Σεπτῶς ἅπαντες τοῦτον αἴνοις ᾄσατε.

'Ωδὴ ε'.

Νῦν, Ἡσαία, γήθει καὶ σκίρτα βλέπων
ἣν ἐτράνους ἔγερσιν εἰς σωτηρίαν·
μέλψον σὺν ἡμῖν τὸν θεὸν καὶ δεσπότην
ἐκ νυκτὸς ὀρθρίζουσιν μυστικωτάτως,
ῥώμης τυχοῦσι, φωτοειδοῦς πίστεως.

'Ωδὴ ς'.

Ὡς τὸν προφήτην ἐκ βυθοῦ κατωτάτου
νεύσει μόνῃ σου πανσθενῶς ἀνήγαγες,
σῶσόν με, σωτήρ, ἐκ βάθους ἁμαρτίας,
ὡς μακρόθυμος, ὡς μόνος ζωὴν βρύων,
τὸν πρὸς σὲ κραυγάζοντα πίστεως λόγοις.

'Ωδὴ ζ'.

Σύμφωνον ᾠδὴν μουσικῆς μελῳδίας,
ἄπαυστον αἶνον, ἐν πυρὶ φλογὸς νέοι
θεηγοροῦντες ἐξέλυσαν ἐμφρόνως,
ᾄδοντες εὐχάριστον ὕμνον τῷ λόγῳ·
«Νεουργὲ τοῦ σύμπαντος, εὐλογητὸς εἶ».

'Ωδὴ η'.

Ἔθραυσαν ὁρμὴν τοῦ πυρὸς τοῦ παμφάγου,
ἄνωθεν ὄντος, τὴν δρόσον δεδεγμένοι

---

4 κῶδ. ὠδῆ. — 5 κῶδ. Συνεῖς ὁ θ. ἀμβακοῦμ. — 6 κῶδ. βροτίου τῆν. — 7 Ἀμβ. γ', 3 || κῶδ. θεμᾶν. — 8 κῶδ. πρὸ ἐλθῶν — 9 κῶδ. ἄπ. τούτον αἶνοις. — 11 κῶδ. Νὺν || σκήρτα. — 12 κῶδ. ἧν. — 13 κῶδ. συνήμῖν. — 14 κῶδ. μυστηκοτάτως. — 15 κῶδ. ρῶμης τυχοῦσαι. — 17 κῶδ. 'Ως || βυθού. — 18 κῶδ. μόνίσου. — 19 κῶδ. ἀμαρτίας. — 20 κῶδ. μακρώθυμος ὡς μ. ζωῆν. — 22 κῶδ. ὠδῆ. — 23 κῶδ. Σύνφωνον ὠδῆν μ. μελοδίας. — 25 κῶδ. θεϊγωρούντες. — 26 κῶδ. εὐχᾶριστον ὕμνον. — 27 κῶδ. τοὺ || εὐλογειτόσεῖ. — 28 κῶδ. ὠδῆ. — 29 κῶδ. ὁρμῆν τού. — 30 κῶδ. τῆν.

οἱ εὐσεβεῖς φρόνημα καὶ θεῖον πόθον·
ἵσταντο δὲ κράζοντες ἐν παρρησίᾳ·
«Δυνατὲ Χριστέ, σὲ τρέμει πᾶσα κτίσις».

Ὠδὴ θ'.

Τὴν παρθένον καὶ μητέρα Χριστοῦ πόθῳ
λαὸς αἰνέσωμεν νῦν ὁ χριστώνυμος·
καύχημα γὰρ πέφηνε τοῦ βροτῶν γένους,
λύσις φθορᾶς τε καὶ βλύσις σωτηρίας,
ἣν δοξάζομεν ἐνθέοις τοῖς ᾄσμασιν.

## 6.

Ἕτερος κανὼν εἰς τὴν αὐτὴν ἑορτὴν [= τοῦ Εὐαγγελισμοῦ], οὗ ἡ ἀκροστιχὶς ἡρῳελεγεῖον:

Ἄγγελος οὐρανόθεν πολυήρατον ἄρτι καταπτὰς
παιδοφόρον Μαρίῃ φθέγξατο γηθοσύνην·
ἣ δ' ὑποκυσσαμένη θεὸν ἄμβροτον εἰς φύσιν ἀνδρὸς
παρθενικῷ τοκετῷ κοσμοχαρῶς ἐχάρη.
Ἀναστα(σίου) κοιαίστο(ρος).

Ὠδὴ α'.

Ἦχος δ' πρὸς τὸ «Θείῳ καλυφθείς».

Ἄπλουν * Ἐρυθρᾶς ὑγρογείτονα τρίβον
Γεωστράτευτος Ἰσραὴλ ὡδοιπόρει·
Γαστὴρ δὲ * μὴ χρανθεῖσα ῥύποις
Εἰς μεῖζον ἔργον * τοῦ μεγίστου θαύματος
Λόγῳ κυΐσκει * τὸν λόγον σαρκούμενον.

Ὅτε * πρὸς ὀργὴν τὸ βροτήσιον γένος
Σκυθρωπότητος ἐξελήλαται λόγοις,
Ὁ τοῦτο * πρὸς τὸ κρεῖττον ἄρρητος λόγος
Ὑπερβιβάζων * χαρμονῆς προσρήματι
Ῥεῦσαι τὸ χεῖρον * εὐδόκησε σήμερον.

1 κῶδ. οἱ εὐσεβαῖς φρόνιμα. — 2 κῶδ. εἵσταντο. — 3 κῶδ. πάσα. — 5 κῶδ. ὁ χριστόνοιμος. — 7 κῶδ. πέφεινε τοὺ. — 8 κῶδ. φθορὰς τὲ. — 10 Κῶδιξ Πετρουπ., φύλλ. 27[b]—29[b]. — 11 ἡ λέξις «ἡρωελεγεῖον» εἶναι γεγραμμένη δὶς ἐν τῇ ᾤᾳ. — 14 ἣ] κῶδ. ἤ. — 16 τὸ ὄνομα τοῦ ποιητοῦ ἐν τῇ ᾤᾳ || κῶδ. κοιαίστω(ρος).

Ἄρχων * πονηρὸς τῆς προμήτορος πλάνος,
Νυμφοστόλος δὲ Γαβριὴλ τῆς παρθένου.
Ὁ πρῶτος * ἐξ αἰῶνος ἐν τοῖς ἀγγέλοις·
Θεὸς γὰρ οὕτως * ἐντέχνως θαυμάζεται,
Ἐναντιώσας * ταῖς νόσοις τὰ φάρμακα.

Θεοτοκίον.

Νίκην * ἐναργῶς τοῖς κακῶς ἡττημένοις
Πρὸς τὴν ἄμυναν ἐξεγείρει τὴν φύσιν,
Οὐκ Εὔαν * ἐξ ὠδίνων ἀλλὰ παρθένον
Λαβὼν ὁ πλάστης *, ἡδονῶν καὶ θλίψεων
ὑπεκφυγοῦσαν * τὴν πάλην ἐν σώματι.

---

Ὠδὴ γ′ πρὸς τὸ «Ἔρρηξε γαστρός».

Ἤστραψεν ἡ πρὶν * ἐκτυπουμένη χάρις·
Ῥοπὴ γὰρ ἡ στείρωσις * εἰς τὸ παρθένον·
Αὕτη Σαμουὴλ * σπαργανοῖ τὸν οἰκέτην,
Τοῦ δὲ προφήτας * βλαστάνοντος δεσπότου
Ὁ χαιρετίζων τὴν κόρην ἀρχάγγελος.

Νόμος γυναιξὶ * μηδὲ τὴν πρώτην ἔχειν
Ἀνώδυνον σύλληψιν * ἤ που τὸν τόκον·
Ρᾷον γὰρ οὐδὲν * εἰς γενέθλιον βίαν·
Ταύτην ἀλύπως * Γαβριὴλ τὴν παρθένον
Ἰδεῖν τὸ «χαῖρε» φησὶν ἐγγυώμενος.

Θεοτοκίον.

Κέκληκε λοιπὸν * ὁ σκιόγραφος νόμος·
Αὐγὴ γὰρ ἐξέλαμψε * πρακτικωτάτη·
Τίκτουσι πολλαὶ * δυστοκοῦσαι γαστέρες·
Ἄχραντος ἄρτι * τὸν θεὸν συλλαμβάνει
Πρὸ τοῦ σπαρῆναι νηδὺς ἀειπάρθενος.

---

Ὠδὴ δ′ πρὸς τὸ «Ἄναξ ἀνάκτων».

Τρόμον προφήταις * καὶ ταραγμὸν ἰσχύος
Ἄκουσμα φρικτὸν * δημιουργῶν εἰργάσω·
Σὺ γὰρ θεὸς ζωῆς τε * πηγὴ τυγχάνων
Παθητὸς ἐβλάστησας *, ἐμψυχωμένος,
Ἄνθρωπος ἔννους *, εἰς ὄρος κατάσκιον.

34 ὄρος κατάσκιον] Ἀμβ. γ′, 3.

Ἵνα κρατήσῃ * τῆς ἀηττήτου μάχης,
Δούλοις ἑαυτὸν * συντεταγμένος φέρων
Ὁ τοῦ θεοῦ τοῦ ζῶντος * υἱὸς καὶ λόγος
Φῶς ἐν σκότει κάτεισιν * εἰς τὸ σαρκίον,
Ὄμβρος γαλήνης * ἐν πόκῳ κενούμενος.

Ῥάβδος φυεῖσα * τὴν χλοηφόρον φύσιν
Ὅμως ἐνεργεῖ * καὶ τὸ βλαστάνειν ἔχει·
Νῦν δὲ φθορὰν λαθοῦσα * γαστὴρ παρθένου,
Μυστηρίων δήλωσιν * ἐντελεστέραν
Ἄνθος γλυκάζον * Χριστὸν ἐγκυΐσκεται.

Θεοτοκίον.

Ῥίζαις ἀνίκμοις * οὐχ ὑποστρέφειν κλάδους,
Ἴσως δὲ μακροῖς * οὐχ ὑπεσχέθη χρόνοις·
Ἡ δὲ σπορὰν μὴ γνοῦσα *, τὸν θεῖον λόγον
Φορητὸν εἰς σάρκωσιν * ἐγκολπουμένη,
Θέαμα πάντων *, θαυμάτων ὑπέρτερον

---

Ὠδὴ ε΄ πρὸς τὸ «Λυτήριον κάθαρσιν».

Ἐλθεῖν μὲν εὐδόκησας *, ἀλλ᾽ ἐκ παρθένου
Γεννήσεως ἄρρητον * ἔσχηκας λόγον,
Ξένην τε τὴν σύλληψιν *, ὦ παντοκράτορ·
Αὐτὸς γὰρ ἔδρας * εὐφυῶς ὑπὲρ φύσιν,
Τὴν πατροκοσμόχαρτον * εἰρήνην φέρων.

«Οὐκ ἔσχον, οὐκ ἔγνωκα * τῆς ὁμοζύγου
Γονῆς περισπούδαστον *, ἄγγελε, τρόπον»,
Ἡ ζῶσα καὶ τίκτουσα * φησὶ παρθένος.
«Θεὸν δὲ πῶς μοι * καὶ τεκεῖν καὶ βαστάσαι,
Ὃν ἄγγελοι φρίττουσιν *, αὐτὸς εἰσάγεις»;

Θεοτοκίον.

«Συλλήψεως ἔννοια * μὴ ταρασσέτω·
Υἱὸς γὰρ ὑψίστου σε * χρῄζει μητέρα,
Νύμφη θεοσφράγιστε *· καὶ γὰρ ἀσπόρως
Ἡ σὰρξ ἐκείνου * συμπαγήσεται νόμοις
Νῦν, ὡς ἐπιπνεύσειε * τὸ πνεῦμα, ξένοις».

---

Ὠδὴ ς′ πρὸς τὸ «Ἱλασμὸς ἡμῖν, Χριστέ».

Ἡ συμφέρουσα τῷ γένει σωτηρία
Δεδειγμένη πάρεστιν ἐν τοῖς ἐγκάτοις,
Ὑπὸ προφήτου * παντὸς εἰκονισμένη·
Πλὴν οὐκ Ἰωνᾶς *, ἀλλ' ὁλόκληρος βίος
Οἶδεν λυτρωθεὶς * τὴν χαρὰν τῆς παρθένου.

Κατεπλάγη σε, Χριστέ, τῆς εὐσπλαγχνιας
Ὑπερτέρα σύμπασα ταξιαρχία·
Σοῦ γὰρ θεᾶσθαι * μηδὲ τὴν τῆς οὐσίας
Στέγουσα μορφὴν * ἐν χαρᾷ διεσκόπει
Ἄνθρωπον ἀρχαῖς * μητρικαῖς πεπλασμένον.

Θεοτοκίον.

«Μετὰ τρόμου σοι φρικτός, ἀλλ' ὑπηρέτης
Ἐντυγχάνω, δέσποινα, τῶν ἀρχαγγέλων,
Νυμφοστολῶν σε» *, φησὶν ὁ πρωτοστάτης·
«Ἡ τῆς παλαιᾶς * ἐκτομὴ τυραννίδος
Θάρσει γυναικῶν * εἰς χαρὰν κεκλημένη».

---

Ὠδὴ ζ′ πρὸς τὸ «Σύμφωνον ἐθρόησεν».

Ἔβλυζεν ἡ κάμινος * εἰς φλόγα δρόσον,
Ὅπως ὁ τρισμέγιστος * ἄσπορος τόκος
Νόμοις ὑπογράφοιτο * μὴ πεπραγμένοις·
Αὐτὸν θεὸν γὰρ * συλλαβοῦσα παρθένος
Μήτηρ διεκράτησεν * οὐκ ἐφθαρμένη.

Βάτος μὲν εἰς ἄπειρον * ἐκπυρουμένη,
Ῥεῦσιν δὲ μὴ πάσχουσα *, μὴ κεκαυμένη,
Ὅραμα τὴν πρόγνωσιν * ὄψεσθαι μέγα
Τῶν σῶν ἐφεῖλκε * τὸν θεόπτην θαυμάτων,
Οἷς τὸν θεὸν τίκτουσα * παρθένος μένεις.

Νόμος μὲν οὐχ εὕρηκεν * ἀφθόρους πλάκας,
Ἔχεις δὲ τὴν ἄχραντον * αὔτη γαστέρα·
Ἶσον γὰρ οὐ πέφυκε * γράψαι δακτύλῳ

9 θεᾶσθαι] κῶδ. θεᾶσ////σθαι.

Συνουσιοῦσθαι * τὸν θεόν τε, παρθένε,
Φοροῦντα τὴν πρόσληψιν * ἐκ σῶν αἱμάτων.

Θεοτοκίον.

Ὕδωρ μὲν εἰς ἔκκαυσιν * Ἠλίας χέων,
Σχίζων δὲ τὴν θάλασσαν * ἄλλος εἰς τρίβον,
Ἴδον σε προγράφοντες *, ὥστε τὴν κτίσιν
Νικῶσα τέξῃ * τὴν ἀνίκητον φύσιν
Ἄτρεπτον εἰς σύμπαντας * αἰώνων δρόμους.

---

Ὠδὴ η´ πρὸς τὸ «Λύει τὰ δεσμά».

Νέων τὸ τρισσὸν τῆς τετάρτου γνησίας.
. . . . . . . . . . . . . . . . . . . . . . .

Ἀ. Παπαδόπουλος-Κεραμεύς.